σήμερον ὡς εἰς τὴν σὴν οἰκίαν οἱ φυγάδες καταίρειν μέλλουσιν, ἀγωνιῶ, μὴ μεγάλων κακῶν ἐμπλήσωμεν ἡμᾶς αὐτοὺς οὐδὲν ἀξιόλογον τοὺς πολεμίους δράσαντες ἀλλ' ὅσον διαταράξαντες. τὴν γὰρ πόλιν πρὸς ἡμῶν τίθεμαι, τὴν δὲ Καδμείαν ὥσπερ ἐστὶ πρὸς ἐκείνων.' (18.) ὑπολαβὼν δ' ὁ Θεόκριτος καὶ κατασχὼν τὸν Χάρωνα βουλόμενον εἰπεῖν τι πρὸς τὸν Ἱπποσθενείδαν 'ἀλλ' ἔμοιγ'' εἶπεν 'ἀπ' οὐδενὸς οὕτως οὐδέποτε θαρρῆσαι πρὸς τὴν πρᾶξιν, ὦ Ἱπποσθενείδα, παρέστη, καίπερ ἱεροῖς ἀεὶ C χρησαμένῳ καλοῖς ὑπὲρ τῶν φυγάδων, ὡς ἀπὸ τῆς ὄψεως ταύτης· εἴ γε φῶς μὲν πολὺ καὶ λαμπρὸν ἐν τῇ πόλει λέγεις ἐξ οἰκίας φίλης ἀνασχεῖν, καπνῷ δὲ συμμελανθῆναι τὸ τῶν πολεμίων οἰκητήριον οὐδὲν οὐδέποτε δακρύων καὶ ταραχῆς φέροντι κρεῖττον, ἀσήμους δὲ φωνὰς ἐκφέρεσθαι παρ' ἡμῶν, ὥστε κἂν [εἰ] τις ἐπιχειρῇ κατηγορεῖν, περιφώνησιν ἀσαφῆ καὶ τυφλὴν ὑπόνοιαν ἡ πρᾶξις λαβοῦσα μόνον ἅμα καὶ φανήσεται καὶ κρατήσει. δυσιερεῖν δέ γε θύοντας εἰκός· ἡ γὰρ ἀρχὴ καὶ τὸ ἱερεῖον οὐ δημόσιον ἀλλὰ τῶν κρατούντων ἐστίν.' ἔτι δὲ τοῦ Θεοκρίτου λέγοντος λέγω πρὸς τὸν Ἱπποσθενείδαν 'τίνα πρὸς τοὺς ἄνδρας ἐξαπέστειλας; εἰ γὰρ οὐ πολὺ προείληφας, D διωξόμεθα.' καὶ ὁ Ἱπποσθενείδας 'οὐκ οἶδ,'' εἶπεν 'ὦ Καφισία (δεῖ γὰρ ὑμῖν τἀληθῆ λέγειν), εἰ καταλάβοις ἂν τὸν ἄνθρωπον ἵππῳ χρώμενον τῶν ἐν Θήβαις κρατίστῳ· γνώριμος δ' ὑμῖν ὁ ἄνθρωπός ἐστι τῶν Μέλωνος ἁρματηλατῶν ἐπιστάτης καὶ διὰ Μέλωνα τὴν πρᾶξιν ἀπ' ἀρχῆς συνειδώς.' κἀγὼ κατιδὼν τὸν ἄνθρωπον 'ἆρ' οὐ Χλίδωνα λέγεις,' εἶπον 'ὦ Ἱπποσθενείδα, τὸν κέλητι τὰ Ἡρά⟨κλε⟩ια νικῶντα πέρυσιν;' 'ἐκεῖνον μὲν οὖν αὐτόν'